The Service of Matins

on Sunday, November 29, 2026

Octoechos - Mode 1
on Sunday Morning
Eothinon 4
Katavasias of Christmas I

Texts in Greek and English

Powered by Digital Chant Stand
A National Ministry of the Greek Orthodox Archdiocese of America

Links to Matins Ordinary
Bilingual
dcs.goarch.org/goa/dcs/p/b/matinsordinary/normal/gr-en/bk.matinsordinary.normal.pdf
English
dcs.goarch.org/goa/dcs/p/b/matinsordinary/normal/en/bk.matinsordinary.normal.pdf

Sources

GOADEDES Greek Orthodox Archdiocese of America and Fr. Seraphim Dedes. AC Anthony Cook. AGH Fr. Andreas Houpos. GKD George K. Duvall. KW Metropolitan Kallistos Ware. NR Nicholas Roumas. RB Richard Barrett. JMB John Michael Boyer. SD Fr. Seraphim Dedes. TC Thomas Carroll. VPA Virgil Fr. Peter Andronache. GOA Greek Orthodox Archdiocese of America. HC Holy Cross Orthodox Press. MLGS Monastery of the Life-Giving Spring. OCA Orthodox Church in America.

NKJV Scripture taken from the New King James Version™. Copyright © 1982 by Thomas Nelson, Inc. Used by permission. All rights reserved.

RSV Revised Standard Version of the Bible, copyright © 1946, 1952, and 1971 National Council of the Churches of Christ in the United States of America. Used by permission. All rights reserved.

SAAS Scripture taken from the St. Athanasius Academy Septuagint™. Copyright © 2008 by St. Athanasius Academy of Orthodox Theology. Used by permission. All rights reserved.

Disclaimer

The translation, rubrics, Greek and English texts are for the purposes of worship only and are subject to change without notice at the discretion of the Greek Orthodox Archdiocese of America.

All rights reserved. The materials contained within this booklet remain the property of all contributing translators. It is published solely for the purpose of providing a source of worship materials to the parishes of the Orthodox Church and may be copied and otherwise reproduced as needed by the parish toward this end; however, it may not be reprinted, reproduced, transmitted, stored in a retrieval system, or translated into any language in any form by any means – electronic, mechanical, recording, or otherwise – for the purpose of sale without the express written permission of the Greek Orthodox Archdiocese of America.

GOA DCS Website

https://dcs.goarch.org

Email

dcsinfo@goarch.org

Fonts

Font copyright (c) 2010 Google Corporation with Reserved Font Arimo, Tinos and Cousine.

Copyright (c) 2012 Red Hat, Inc. with Reserved Font Name Liberation. This Font Software is licensed under the SIL Open Font License, Version 1.1.

Βιβλία - Πηγαί

Ὀκτώηχος - Ἦχος α΄.

Τῇ Κυριακῇ Πρωΐ

ΟΡΘΡΟΣ

ΧΟΡΟΣ

Ἦχος α΄.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Στίχ. β΄. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ΄. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

Τῆς Ὀκτωήχου - - -

Ἀπολυτίκιον Ἀναστάσιμον.

Ἦχος α΄. *Αὐτόμελον.*

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα· Δόξα τῇ ἀναστάσει σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε Φιλάνθρωπε.

Δόξα. **Τὸ αὐτό.**

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος

Books - Sources

Octoechos - Mode 1.

On Sunday Morning

MATINS

CHOIR

Mode 1.

God is the Lord, and He revealed Himself to us. Blessed is he who comes in the name of the Lord. [SAAS]

Verse 1: *Give thanks to the Lord and call upon His holy name.*

Verse 2: *All the nations surrounded me, but in the name of the Lord I defended myself against them.*

Verse 3: *And this came about from the Lord, and it is wonderful in our eyes.*

From Octoechos - - -

Resurrectional Apolytikion.

Mode 1. *Automelon.*

Τοῦ λίθου σφραγισθέντος.

The stone having been sealed by the Pharisees and chief priests, * and Your all-immaculate body being guarded by soldiers, * You rose on the third day, O Lord and Savior, granting life unto the world. * Then the powers of the heavens cried out to You, O Giver of Life, and shouted, * “Glory to Your resurrection, O Christ! * Glory to Your eternal rule! * Glory to Your plan for saving us, only benevolent God!” [GOASD]

Glory. **Repeat.**

The stone having been sealed by the Pharisees and chief priests, * and Your all-immaculate body being guarded by soldiers,

Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα· Δόξα τῇ ἀναστάσει σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε Φιλάνθρωπε.

Καὶ νῦν. **Θεοτοκίον.**

Τῆς Ὀκτωήχου - - -

Ἦχος α΄. *Τοῦ λίθου σφραγισθέντος.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

ΙΕΡΕΥΣ

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

* You rose on the third day, O Lord and Savior, granting life unto the world. * Then the powers of the heavens cried out to You, O Giver of Life, and shouted, * “Glory to Your resurrection, O Christ! * Glory to Your eternal rule! * Glory to Your plan for saving us, only benevolent God!” [GOASD]

Both now. **Theotokion.**

From Octoechos - - -

Mode 1. *The stone having been sealed.*

Τοῦ λίθου σφραγισθέντος.

When Gabriel had said to you, “Rejoice!” blessed Virgin, * and you had voiced your assent, the Lord of all became incarnate * in you, who became the holy Ark, * as righteous King David said of old. * You carried your Creator, and thus your womb was wider than the heavens. * Glory to Him who dwelt inside of you! * Glory to Him who came forth from You! * Glory to Him who through your childbirth has set us free! [GOASD]

PRIEST

Again and again in peace let us pray to the Lord.

CHOIR: Lord, have mercy.

PRIEST

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

CHOIR: Lord, have mercy.

PRIEST

Remembering our all-holy, immaculate, most blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

ΧΟΡΟΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

CHOIR: To You, O Lord.

PRIEST

For Yours is the dominion, and Yours is the kingdom and the power and the glory, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

CHOIR: Amen.

Κάθισμα Α΄.

Τῆς Ὀκτωήχου - - -

Ἦχος α΄. *Αὐτόμελον.*

Τὸν τάφον σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν ἀνάστασιν. Σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Kathisma I.

From Octoechos - - -

Mode 1. *Automelon.*

The soldiers who were guarding Your tomb became like dead men, * O Savior, when Your Angel appeared there like lightning * and said to the women that You had risen, as You had said. * We now worship You, our only God, and extol You, * for You conquered death and dissolution, O Master, * and rose from the sepulcher. [GOASD]

Δόξα.

Ἦχος α΄. *Τὸν τάφον σου Σωτήρ.*

Σταυρῷ προσηλωθείς, ἑκουσίως Οἰκτίρμον, ἐν μνήματι τεθείς, ὡς θνητὸς Ζωοδότα, τὸ κράτος συνέτριψας, Δυνατὲ τῷ θανάτῳ σου. Σὲ γὰρ ἔφριξαν, οἱ πυλωροὶ οἱ τοῦ ᾅδου· σὺ συνήγειρας, τοὺς ἀπ᾽ αἰῶνος θανόντας, ὡς μόνος φιλάνθρωπος.

Glory.

Mode 1. *The soldiers.*

Τὸν τάφον σου Σωτήρ.

O merciful Lord, nailed to the Cross of Your own will, * O Giver of Life, laid in a tomb as a mortal, * by death You destroyed the power of death, as the Mighty One. * For the doorkeepers of Hades quaked when they saw You. * With yourself You raised those who were long dead, O Savior * supremely benevolent. [GOASD]

Καὶ νῦν. **Θεοτοκίον.**

Ἦχος α΄. *Τὸν τάφον σου Σωτήρ.*

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ

Both now. **Theotokion.**

Mode 1. *The soldiers.*

Τὸν τάφον σου Σωτήρ.

We know you as the Mother of God and all-blameless, * for you remained a virgin indeed after childbirth. * With longing we flee to you and appeal to your tender love. * We

προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Τῆς Ὀκτωήχου - - -

Κάθισμα Β΄.

Ἦχος α΄. *Τοῦ λίθου σφραγισθέντος.*

Γυναῖκες πρὸς τὸ μνῆμα, παρεγένοντο ὄρθριαι, καὶ ἀγγελικὴν ὀπτασίαν θεασάμεναι ἔτρεμον· ὁ τάφος ἐξήστραπτε ζωήν, τὸ θαῦμα κατέπληττεν αὐτάς· διὰ τοῦτο ἀπελθοῦσαι, τοῖς Μαθηταῖς ἐκήρυττον τὴν ἔγερσιν. Τὸν ᾅδην ἐσκύλευσε Χριστός, ὡς μόνος κραταιὸς καὶ δυνατός, καὶ φθαρέντας συνήγειρε πάντας, τὸν τῆς κατακρίσεως φόβον, λύσας δυνάμει σταυροῦ.

Δόξα.

Ἦχος α΄. *Τοῦ λίθου σφραγισθέντος.*

Ἐν τῷ Σταυρῷ προσηλωθείς, ἡ ζωὴ τῶν ἁπάντων, καὶ ἐν νεκροῖς λογισθείς, ὁ ἀθάνατος Κύριος, ἀνέστης τριήμερος Σωτήρ, καὶ ἠγειρας Ἀδὰμ ἐκ τῆς φθορᾶς. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα. Δόξα τοῖς σοῖς παθήμασι Χριστέ· δόξα τῇ ἀναστάσει σου· δόξα τῇ συγκαταβάσει σου, μόνε Φιλάνθρωπε.

Καὶ νῦν. **Θεοτοκίον.**

Ἦχος α΄. *Τὸν τάφον σου Σωτήρ.*

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων.

are sinners all, but we have you to defend us. * We rely on you, O Lady. Rescue and save us * when we are in dire straits. [GOASD]

From Octoechos - - -

Kathisma II.

Mode 1. *The stone having been sealed.*

Τοῦ λίθου σφραγισθέντος.

The women were at the tomb early in the morning. * When they saw a vision of angels, trembling came upon them. * The sepulcher was radiating life, and the dazzling marvel astonished them. * They departed and ran to proclaim the resurrection to the Disciples. * “Christ, the only strong and mighty Lord, * has divested Hades of its spoils. * He has freed the dead from fear of condemnation * by the power of the Cross and raised them all with himself.” [GOASD]

Glory.

Mode 1. *The stone having been sealed.*

Τοῦ λίθου σφραγισθέντος.

O Life of all, You were nailed to the Cross. * Immortal Lord, You were counted among the dead. * You rose on the third day, O Savior, and resurrected Adam from decay. * Then the powers of the heavens cried out to You, O Giver of Life, and shouted, * “Glory to Your sufferings, O Christ! * Glory to Your resurrection! * Glory to Your condescension, only benevolent God!” [GOASD]

Both now. **Theotokion.**

Mode 1. *The soldiers.*

Τὸν τάφον σου Σωτήρ.

O Mary, whose august body hosted the Master, * we pray you raise us up, for we are sunk in the darkness * of dreadful

Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

despondency, of transgressions and suffering. * Lady, you indeed are the salvation of sinners. * You give help to us; you are our mighty protection; * and you save us your servants.

[GOASD]

Εὐλογητάρια Ἀναστάσιμα.
Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾔσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ᾽ ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

Resurrectional Evlogetaria.
Mode pl. 1.

Blessed are You, O Lord, teach me Your statutes.

When the hosts of the Angels saw how You were accounted among the dead, they all marveled. You, O Savior, are the One who destroyed the might of death; and when You arose You raised Adam with yourself and from Hades liberated everyone. [SD]

Blessed are You, O Lord, teach me Your statutes.

“Why do you mingle the ointments with your tears full of pity, O women disciples?” Thus the Angel who was shining in the tomb cried to the myrrh-bearing women. “See for yourselves the empty tomb and understand, that the Savior has risen from the sepulcher.”

Blessed are You, O Lord, teach me Your statutes.

Very early in the morning, the myrrh-bearing women were hastening to Your tomb lamenting. But the Angel appeared to them and uttered, “The time for lamentation has ended; weep no more. Go announce the Resurrection to the Apostles.”

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν, τὸν ζώντα λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἵθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθείς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (3)

ΙΕΡΕΥΣ

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς

Blessed are You, O Lord, teach me Your statutes.

When the myrrh-bearing women had come with their spices to Your sepulcher, O Savior, they heard the voice of an Angel clearly speaking to them, “Why do you account among the dead the One who lives? For as God, He has risen from the sepulcher.”

Glory.

We bow down in worship to the Father and His Son and the Holy Spirit, the Holy Trinity, one in essence; and we cry aloud with the Seraphim: Holy, Holy, Holy are You, O Lord.

Both now.

Giving birth to the Giver of life, O Virgin, you delivered Adam from sin, and to Eve you have rendered joy in place of sorrow. He who from you became incarnate, God and man, has directed to life him who fell from it.

Alleluia. Alleluia. Alleluia. Glory to You, O God. (3)

PRIEST

Again and again in peace let us pray to the Lord.

CHOIR: Lord, have mercy.

PRIEST

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

CHOIR: Lord, have mercy.

PRIEST

Remembering our all-holy, immaculate, most blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all

καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

ΑΝΑΓΝΩΣΤΗΣ

Τῆς Ὀκτωήχου - - -

Ὑπακοή. Ἦχος α΄.

Ἡ τοῦ λῃστοῦ μετάνοια, τὸν Παράδεισον ἐσύλησεν, ὁ δὲ θρῆνος τῶν Μυροφόρων τὴν χαρὰν ἐμήνυσεν· ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

ΧΟΡΟΣ

Οἱ Ἀναβαθμοί.
Ἀντίφωνον Α΄. Ἦχος α΄.

Ἐν τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν ὀδυνῶν, Κύριε σοὶ κράζω.

Τοῖς ἐρημικοῖς, ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, κόσμου οὖσι τοῦ ματαίου ἐκτός.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, ὥσπερ Πατρί, πρέπει ἅμα καὶ Υἱῷ· διὰ τοῦτο ᾄσωμεν τῇ τριαδικῇ μονοκρατορίᾳ.

Ἀντίφωνον Β΄.

Εἰς τὰ ὄρη τῶν σῶν, ὕψωσάς με νόμων, ἀρεταῖς ἐκλάμπρυνον, ὁ Θεός, ἵνα ὑμνῶ σε.

the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

CHOIR: To You, O Lord.

PRIEST

For blessed is Your name, and glorified is Your kingdom, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

CHOIR: Amen.

READER

From Octoechos - - -

Hypakoe. Mode 1.

The robber's repentance steals Paradise. The Myrrh-bearers' mourning reveals the joy, for You had risen, O Christ our God, and granted to the world the great mercy. [GOASD]

CHOIR

Anavathmoi.
Antiphon 1. Mode 1.

In my affliction, I cry out to You, O Lord. Hear me in my grief. [GOASD]

The longing for God is unceasing in those who dwell in the desert, outside of the futile world as they are. [GOASD]

Glory. Both now.

To the Holy Spirit, as to the Father and the Son, belong the honor and the glory. Therefore let us sing a hymn to the Trinity, the one and only Ruler. [GOASD]

Antiphon 2.

Having lifted me up to the mountains of Your laws, brighten me with virtues, O God, that I may praise You. [GOASD]

Δεξιᾷ σου χειρὶ λαβὼν σὺ Λόγε, φύλαξόν με, φρούρησον, μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἡ κτίσις καινουργεῖται, παλινδρομοῦσα εἰς τὸ πρῶτον· ἰσοσθενὲς γάρ ἐστι Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον Γ΄.

Ἐπὶ τοῖς εἰρηκόσι μοι· Ὁδεύσωμεν εἰς τὰς αὐλὰς τοῦ Κυρίου· εὐφράνθη μου τὸ πνεῦμα, συγχαίρει ἡ καρδία.

Ἐπὶ οἶκον Δαυΐδ, φόβος μέγας· ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων, κριθήσονται, ἅπασαι αἱ φυλαὶ τῆς γῆς καὶ γλῶσσαι.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴν προσκύνησιν, δόξαν καὶ κράτος, ὡς Πατρί τε ἄξιον, καὶ τῷ Υἱῷ δεῖ προσφέρειν· Μονὰς γάρ ἐστιν ἡ Τριὰς τῇ φύσει, ἀλλ᾽ οὐ προσώποις.

Προκείμενον.

Νῦν ἀναστήσομαι, λέγει Κύριος· Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ. (δίς)

Στίχ. *Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως.*

Νῦν ἀναστήσομαι, λέγει Κύριος· Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ.

ΙΕΡΕΥΣ

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

With Your right hand embracing me, O Logos, keep me safe and shelter me, so that the fire of sin not burn me. [GOASD]

Glory. Both now.

By the Holy Spirit all creation is renewed, and thus returns to its first state. For He is equal in power to the Father and the Logos. [GOASD]

Antiphon 3.

When they said to me, “Let us go into the courts of the Lord,” my spirit was glad and my heart rejoiced also. [GOASD]

Over the house of David there is great fear; for when thrones are set there, all the tribes and tongues of the earth will be judged. [GOASD]

Glory. Both now.

To the Holy Spirit the honor, worship, glory, and dominion that befit the Father and the Son should also be ascribed, for the Trinity is one in nature but not in persons. [GOASD]

Prokeimenon.

“Now I will arise,” says the Lord; “I will establish them in salvation; I will declare it boldly.” (2)

Verse: *The words of the Lord are pure words, like silver fired in a furnace of earth, purified seven times.*

“Now I will arise,” says the Lord; “I will establish them in salvation; I will declare it boldly.” [SAAS]

PRIEST

Again and again in peace let us pray to the Lord.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

ΑΝΑΓΝΩΣΤΗΣ

Τῆς Ὀκτωήχου - - -

Κοντάκιον Ἀναστάσιμον.

Ἐξανέστης ὡς Θεός, ἐκ τοῦ τάφου ἐν δόξῃ, καὶ κόσμον συνανέστησας, καὶ ἡ φύσις τῶν βροτῶν, ὡς Θεόν σε ἀνύμνησε, καὶ θάνατος ἠφάνισται, καὶ ὁ Ἀδὰμ χορεύει, Δέσποτα, καὶ ἡ Εὔα νῦν ἐκ τῶν δεσμῶν λυτρουμένη, χαίρει κράζουσα· Σὺ εἶ ὁ πᾶσι παρέχων, Χριστὲ τὴν ἀνάστασιν.

Ὁ Οἶκος.

Τὸν ἀναστάντα τριήμερον ἀνυμνήσωμεν, ὡς Θεὸν παντοδύναμον, καὶ πύλας τοῦ ᾅδου συντρίψαντα, καὶ τοὺς ἀπ’ αἰῶνος ἐκ τάφου ἐγείραντα, Μυροφόροις ὀφθέντα καθὼς ηὐδόκησε, πρώταις ταύταις τό, Χαίρετε,

CHOIR: Lord, have mercy.

PRIEST

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

CHOIR: Lord, have mercy.

PRIEST

Remembering our all-holy, immaculate, most blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

CHOIR: To You, O Lord.

PRIEST

For You are the King of peace and the savior of our souls, and to You we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

CHOIR: Amen.

READER

From Octoechos - - -

Resurrectional Kontakion.

You rose from the tomb in glory as God, and You raised the world along with You. The human race extolled You as God, as death was obliterated, O Master. Now Adam dances, and Eve rejoices, freed from the bonds, and cries out, “O Christ, You have granted resurrection to all!” [GOASD]

Oikos.

Let us extol, as omnipotent God, the One who rose on the third day; for He smashed the gates of Hades, and He raised from their graves the dead from all time. As He wished He was seen by the Myrrh-bearing Women,

φήσας· καὶ Ἀποστόλοις χαρὰν μηνύων, ὡς μόνος ζωοδότης. Ὅθεν πίστει αἱ γυναῖκες, Μαθηταῖς σύμβολα νίκης εὐαγγελίζονται, καὶ ᾅδης στενάζει, καὶ θάνατος ὀδύρεται, καὶ κόσμος ἀγάλλεται, καὶ πάντες συγχαίρουσι· Σὺ γὰρ παρέσχες πᾶσι Χριστέ, τὴν ἀνάστασιν.

to whom first He exclaimed, “Rejoice!” thus saying declaring to His Apostles the joy, as the only Giver of Life. Then the women in good faith bring good news of the proof of the victory to the Disciples. But Hades groans, and Death laments. The world exults, and everyone celebrates, O Christ, for You have granted resurrection to all! [GOASD]

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Συναξαρίου.

Stand for the reading of the Synaxarion.

Συναξάριον

Τοῦ Μηναίου.

Synaxarion

From the Menaion.

Τῇ ΚΘ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῆς ἀθλήσεως τοῦ ἁγίου Μάρτυρος Παραμόνου, καὶ τῶν ἁγίων τριακοσίων ἑβδομήκοντα συμμπαρτύρων αὐτοῦ.

On November 29, we commemorate the contest of the holy Martyr Paramonus and his 370 fellow holy martyrs.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Μάρτυρος Φιλουμένου.

Today we also commemorate the holy Martyr Philumenos.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Νικολάου, ἀρχιεπισκόπου Θεσσαλονίκης· καὶ τοῦ ἁγίου Ἱερομάρτυρος Ἰωάννου τοῦ ἐν Περσίδι· καὶ τῶν ἁγίων ἕξ Μαρτύρων, οὓς διωκομένους, πέτρα ῥαγεῖσα ὑπεδέξατο αὐτούς.

Today we commemorate our devout father Nicholas, Archbishop of Thessaloniki; and also the holy hieromartyr John of Persia; and the six holy Martyrs who were chased and then a rock split open and let them in.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Οὐρβανός, Ἐπίσκοπος Μακεδονίας, ἐν εἰρήνῃ τελειοῦται.

On this day St. Urban, Bishop of Macedonia, died in peace.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Διονύσιος, Ἐπίσκοπος Κορίνθου, ξίφει πληγεὶς τελειοῦται.

On this day St. Dionysius, Bishp of Corinth, died after being wounded by a sword.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Παγκόσμιος ἐν εἰρήνῃ τελειοῦται.

On this day devout St. Pancosmios died in peace.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Πιτυροὺν ἐν εἰρήνῃ τελειοῦται.

On this day devout St. Pitiroun died in peace.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Μάρτυς Οὐαλλερῖνος ξίφει τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Φαῖδρος, ῥητίνης ζεούσης καταχεθείσης αὐτῷ, τελειοῦται.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

On this day the holy martyr Valerinus died by the sword.

On this day St. Fedros died when boiling pitch was poured over him.

By the intercessions of Your saints, O God, have mercy on us. Amen.

ΧΟΡΟΣ

ὨΙδὴ α΄. Καταβασία. Ἦχος α΄.

Χριστὸς γεννᾶται· δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν· ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς· ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί· ὅτι δεδόξασται.

CHOIR

Ode i. Katavasia. Mode 1.

Christ is born! Glorify Him! * Christ is come from heaven! Go and meet Him! * Christ is on earth! Arise to Him! * Sing to the Lord, all you inhabitants of earth, and all you peoples, praise Him, * and with merriment extol Him who is glorified! [GOASD]

ὨΙδὴ γ΄. Καταβασία. Ἦχος α΄.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ᾽ ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Ode iii. Katavasia. Mode 1.

To the Son, begotten from the Father unchangingly before the ages, * and now becoming incarnate from the Virgin without seed; * to Christ God let us cry aloud, * “You have exalted the horn of our strength. * Only You are holy, O Lord!” [GOASD]

ὨΙδὴ δ΄. Καταβασία. Ἦχος α΄.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός. Δόξα τῇ δυνάμει σου Κύριε.

Ode iv. Katavasia. Mode 1.

A rod has come forth from Jesse’s root, * and You its flower grew from it, praiseworthy Christ, now born of the Virgin, * whom Habakkuk called Paran, shady, thickly wooded mountain. * From her who knew no man You came incarnate, O immaterial God. * Glory to Your strength, O Lord! [GOASD]

Ὠδὴ ε΄. Καταβασία. Ἦχος α΄.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε Φιλάνθρωπε.

Ode v. Katavasia. Mode 1.

O God of peace and Father of mercies, * You have sent to us the Wonderful Counselor, * the Angel of Your great counsel, granting us peace. * And now to light of knowledge of God we have been guided, * and we rise from night to dawn and glorify You, O benevolent Lord. [GOASD]

Ὠδὴ Ϛ΄. Καταβασία. Ἦχος α΄.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε, φυλάξας ἀδιάφθορον· ἧς γάρ, οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ode vi. Katavasia. Mode 1.

Jonah long ago * was hurled from the belly of the whale as he went in, like a newborn babe. * With the Virgin now, * when the Logos had dwelt in His Mother’s womb, * taking flesh, He then emerged, preserving her intact.* Yielding not to changeability, * He preserved her unaltered in childbirth. [GOASD]

Ὠδὴ ζ΄. Καταβασία. Ἦχος α΄.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ’ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ode vii. Katavasia. Mode 1.

Brought up together piously, the Servants * with contempt regarded the impious king’s decree. * The threat of the furnace did not frighten them. * Rather, standing in the midst of flames, they prayed and sang, * “Blessed are You, O Lord God of our fathers!” [GOASD]

Ὠδὴ η΄. Καταβασία. Ἦχος α΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες

Ode viii. Katavasia. Mode 1.

We praise and we bless and we worship the Lord.

Babylon’s bedewing furnace bore the image of an extraordinary wonder. * For it did not burn the youths it was holding, * nor did the fire of Divinity consume the

ἀναμέλψωμεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου.

ΔΙΑΚΟΝΟΣ

Τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς) Αἰνεσάτω πνοή πᾶσα τὸν Κύριον.

ΔΙΑΚΟΝΟΣ

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. (3)

ΔΙΑΚΟΝΟΣ

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

ΙΕΡΕΥΣ

Εἰρήνη πᾶσι.

ΧΟΡΟΣ: Καὶ τῷ πνεύματί σου.

ΙΕΡΕΥΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

ΔΙΑΚΟΝΟΣ

Πρόσχωμεν.

Virgin's womb wherein it went. * And so let us songfully extol and praise, * "Let all creation bless the Lord, sing a hymn to Him, * and exalt Him beyond measure unto all the ages." [GOASD]

Stand for the Gospel reading.

DEACON

Let us pray to the Lord.

CHOIR: Lord, have mercy.

PRIEST

For You, our God, are holy, and You rest among the holy ones, and to You we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

CHOIR: Amen.

Mode 2.

Let everything that breathes praise the Lord. (2) Let everything that breathes praise the Lord. [SAAS]

DEACON

Let us pray to the Lord our God that we may be made worthy to hear the holy Gospel.

CHOIR: Lord, have mercy. (3)

DEACON

Wisdom. Arise. Let us hear the holy Gospel.

PRIEST

Peace be with all.

CHOIR: And with your spirit.

PRIEST

The reading is from the holy Gospel according to Luke.

DEACON

Let us be attentive.

ΧΟΡΟΣ

Δόξα σοι, Κύριε, δόξα σοι.

ΙΕΡΕΥΣ *(ἀπὸ τῆς ἁγίας τραπέζης)*

Ἑωθινὸν Δ΄
Λουκᾶν 24:1 – 12

Τῇ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου καὶ ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. ἐμφόβων δὲ γενομένων αὐτῶν καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν εἶπον πρὸς αὐτάς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ᾽ ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ, καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς. ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτόν, θαυμάζων τὸ γεγονός.

ΧΟΡΟΣ

Δόξα σοι, Κύριε, δόξα σοι.

CHOIR

Glory to You, O Lord, glory to You.

PRIEST *(from the altar table)*

Eothinon 4
Luke. 24:1 – 12

On the first day of the week at early dawn, the women went to the tomb, taking spices which they had prepared. And they found the stone rolled away from the tomb, but when they went in they did not find the body of the Lord Jesus. While they were perplexed about this, behold, two men stood by them in dazzling apparel; and as they were frightened and bowed their faces to the ground, the men said to them, “Why do you seek the living among the dead? He is not here, but has risen. Remember how he told you, while he was still in Galilee, that the Son of man must be delivered into the hands of sinful men, and be crucified, and on the third day rise.” And they remembered his words and returning from the tomb they told all this to the eleven and to all the rest. Now it was Mary Magdalene and Joanna and Mary the mother of James and the other women with them who told this to the Apostles; but these words seemed to them an idle tale, and they did not believe them. But Peter rose and ran to the tomb; stooping and looking in, he saw the linen cloths by themselves; and he went home wondering at what had happened. [RSV]

CHOIR

Glory to You, O Lord, glory to You.

ΑΝΑΓΝΩΣΤΗΣ

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

READER

Having beheld the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless one. Your Cross, O Christ, we venerate, and Your holy Resurrection we praise and glorify. For You are our God; apart from You we know no other; we call upon Your name. Come, all faithful, let us venerate the holy Resurrection of Christ; for behold, through the Cross, joy has come to the whole world. Ever blessing the Lord, let us praise His Resurrection; for having endured the Cross for us, He destroyed death by death. [GOA]

ΧΟΡΟΣ

Ψαλμὸς Ν΄ (50).

Ἦχος β΄. *(ἢ τῆς ἑβδομάδος.)*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

CHOIR

Psalm 50 (51).

Mode 2. *(or the Mode of the week)*

Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.

Wash me thoroughly from my lawlessness and cleanse me from my sin.

For I know my lawlessness, and my sin is always before me.

Against You only have I sinned and done evil in Your sight; that You may be justified in Your words, and overcome when You are judged.

For behold, I was conceived in transgressions, and in sins my mother bore me.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Behold, You love truth; You showed me the unknown and secret things of Your wisdom.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

You shall sprinkle me with hyssop, and I will be cleansed; You shall wash me, and I will be made whiter than snow.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

You shall make me hear joy and gladness; my bones that were humbled shall greatly rejoice.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Turn Your face from my sins, and blot out all my transgressions.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Create in me a clean heart, O God, and renew a right spirit within me.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ’ ἐμοῦ.

Do not cast me away from Your presence, and do not take Your Holy Spirit from me.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Restore to me the joy of Your salvation, and uphold me with Your guiding Spirit.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

I will teach transgressors Your ways, and the ungodly shall turn back to You.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Deliver me from bloodguiltiness, O God, the God of my salvation, and my tongue shall greatly rejoice in Your righteousness.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

O Lord, You shall open my lips, and my mouth will declare Your praise.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

For if You desired sacrifice, I would give it; You will not be pleased with whole burnt offerings.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

ΙΕΡΕΥΣ

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια·

πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων

A sacrifice to God is a broken spirit, a broken and humbled heart God will not despise.

Do good, O Lord, in Your good pleasure to Zion, and let the walls of Jerusalem be built.

Then You will be pleased with a sacrifice of righteousness, with offerings and whole burnt offerings.

Then shall they offer young bulls on Your altar. And have mercy on me, O God. [SAAS]

Glory.

At the intercession of the Apostles, O Lord of mercy, blot out my many offenses. [SD]

Both now.

At the intercession of the Theotokos, O Lord of mercy, blot out my many offenses. [SD]

Verse: *Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.*

Jesus, having risen from the grave as He foretold, has granted us eternal life and great mercy. [SD]

PRIEST

O God, save Your people and bless Your inheritance. Look upon Your world with mercy and compassion. Raise the Orthodox Christians in glory, and send down upon us Your rich mercies:

through the intercessions of our all-immaculate Lady Theotokos and ever-virgin Mary, by the power of the precious and life-giving Cross, the protection of the honorable,

ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρου τοῦ τήρωνος, Θεοδώρου τοῦ στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας· τῶν ἁγίων ἐνδόξων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν ἁγίων·

ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. (ιβ΄)

ΙΕΡΕΥΣ

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ὁ λαὸς ἵσταται διὰ τὴν Θ΄ Ὠδήν.

heavenly, bodiless powers, the supplications of the honorable, glorious prophet and forerunner John the Baptist, the holy, glorious, and praiseworthy apostles, our fathers among the saints, the great hierarchs and ecumenical teachers Basil the Great, Gregory the Theologian, and John Chrysostom; Athanasius, Cyril, and John the Merciful, patriarchs of Alexandria, Nicholas, bishop of Myra, Spyridon, bishop of Trimythous, Nektarios of Pentapolis, the wonderworkers; the holy, glorious, great martyrs George the triumphant, Demetrios the myrrh-streamer, Theodore the soldier, and Theodore the general; Menas the wonderworker; Charalampus and Eleutherius, the hieromartyrs; the holy, glorious, and victorious martyrs; the glorious great Martyr and all-laudable Euphemia; the holy and glorious Martyrs Thecla, Barbara, Anastasia, Catherine, Kyriaki, Photini, Marina, Paraskevi and Irene; our venerable and God-bearing fathers; (local patron saint); the holy and righteous ancestors of God Joachim and Anna; and all Your saints:

We beseech you, only merciful Lord, hear us sinners who pray to you and have mercy on us.

CHOIR: Lord, have mercy. (12)

PRIEST

Through the mercy, compassion, and love for humankind of Your only-begotten Son, with whom You are blessed, and Your all-holy, good and life-creating Spirit, now and ever and to the ages of ages.

CHOIR: Amen.

Stand for the singing of Ode ix.

ΔΙΑΚΟΝΟΣ

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

ΧΟΡΟΣ

Ὠδὴ θ΄.
Μεγαλυνάριον. Ἦχος α΄.

Στίχ. *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδού γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καί το ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

DEACON

Let us honor and magnify in song the Theotokos and the Mother of the light.

CHOIR

Ode ix.
The Magnificat. Mode 1.

Verse: *My soul magnifies the Lord, and my spirit has rejoiced in God my Savior.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [GOASD]

Verse: *For He has regarded the lowly state of His maidservant; for behold, henceforth all generations will call me blessed.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [GOASD]

Verse: *For He who is mighty has done great things for me, and holy is His name. And His mercy is on those who fear Him from generation to generation.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [GOASD]

Στίχ. *Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὠδὴ θ΄. Καταβασία. Ἦχος α΄.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν τὸ σπήλαιον· θρόνον Χερουβικόν, τὴν Παρθένον· τὴν φάτνην χωρίον· ἐν ᾧ ἀνεκλήθη

Verse: *He has shown strength with His arm; He has scattered the proud in the imagination of their hearts.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [GOASD]

Verse: *He has put down the mighty from their thrones, and exalted the lowly. He has filled the hungry with good things, and the rich He has sent away empty.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [GOASD]

Verse: *He has helped His servant Israel, in remembrance of His mercy, as He spoke to our fathers, to Abraham and to his seed forever.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [GOASD]

Ode ix. Katavasia. Mode 1.

O my soul, magnify the woman who is higher in honor and in glory than the armies of heaven.

I see here a new and paradoxical mystery. * For the cave resembles heaven, * the Virgin, the cherubic throne, * the manger, a grand

ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

ΙΕΡΕΥΣ

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ἦχος β΄.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (δίς)

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Ὅτι ἅγιός ἐστι.

Τῆς Ὀκτωήχου - - -

space, * in which He whom nothing can contain was laid, Christ our God; * whom we extol in song and magnify. [GOASD]

PRIEST

Again and again in peace let us pray to the Lord.

CHOIR: Lord, have mercy.

PRIEST

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

CHOIR: Lord, have mercy.

PRIEST

Remembering our all-holy, immaculate, most blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

CHOIR: To You, O Lord.

PRIEST

For all the powers of heaven praise You, and to You they offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

CHOIR: Amen.

Mode 2.

Holy is the Lord our God. (2)

Exalt the Lord our God, and worship at the footstool of His feet.

For He is holy. [SAAS]

From Octoechos - - -

Ἐξαποστειλάριον.
Τὸ Δ΄ Ἑωθινόν.
Ἦχος β΄. *Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Ταῖς ἀρεταῖς ἀστράψαντες, ἴδωμεν ἐπιστάντες, ἐν ζωηφόρῳ μνήματι, ἄνδρας ἐν ἀστραπτούσαις, ἐσθήσεσι Μυροφόροις, κλινούσαις εἰς γῆν ὄψιν· τοῦ οὐρανοῦ δεσπόζοντος, ἔγερσιν διδαχθῶμεν, καὶ πρὸς ζωήν, ἐν μνημείῳ δράμωμεν σὺν τῷ Πέτρῳ, καὶ τὸ πραχθὲν θαυμάσαντες, μείνωμεν Χριστὸν βλέψαι.

Θεοτοκίον. Ὅμοιον.

Τὸ Χαίρετε φθεγξάμενος, διημείψω τὴν λύπην, τῶν προπατόρων Κύριε, τὴν χαρὰν ἀντεισάγων, ἐγέρσεώς σου ἐν κόσμῳ. Ταύτης οὖν ζωοδότα, διὰ τῆς Κυησάσης σε, φῶς φωτίζον καρδίας, φῶς οἰκτιρμῶν, τῶν σῶν ἐξαπόστειλον τοῦ βοᾶν σοι· Φιλάνθρωπε, Θεάνθρωπε, δόξα τῇ σῇ ἐγέρσει.

Οἱ Αἶνοι. Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Exaposteilarion.
Eothinon 4.
Mode 2. *Let us in faith.*
Τοῖς Μαθηταῖς συνέλθωμεν.

Let us with virtues dazzling bright * picture the two men standing * at the life-bearing sepulcher * in their dazzling apparel, * beside the Myrrh-bearing Women, * frightened and bowing their faces. * With Peter, let us also run * to life inside the tomb, now that we have learned * that the Lord of heaven has truly risen. * Let us marvel at what transpired, * and let us stay to see Christ. [GOASD]

Theotokion. Same Melody.

When You, O Savior, said “Rejoice!” * You replaced the ancestral * sorrow and introduced instead * joy of Your resurrection * into the world, O Redeemer. * Heed, now, the intercessions * of Your Mother, and send out light, * light of Your mercy, light that illumines hearts, * so that we may sing to You, glorifying * Your rising, O benevolent * Giver of Life and God-man. [GOASD]

Lauds. Mode 1.

Let everything that breathes praise the Lord. Praise the Lord from the heavens, praise Him in the highest. It is fitting to sing a hymn to You, O God. [SAAS]

Praise Him, all you His angels; praise Him, all you His hosts. It is fitting to sing a hymn to You, O God. [SAAS]

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Praise Him, sun and moon; praise Him, all you stars and light.

Praise Him, you heavens of heavens, and you waters above the heavens. Let them praise the Lord’s name.

For He spoke, and they were made; He commanded, and they were created.

He established them forever and unto ages of ages; He set forth His ordinance, and it shall not pass away.

Praise the Lord from the earth, you dragons and all the deeps.

Fire and hail, snow and ice, stormy wind, which perform His word.

Mountains and all the hills, fruitful trees and all cedars.

Wild animals and all cattle, creeping things and flying birds.

Kings of the earth and all peoples, princes and all judges of the earth.

Young men and maidens, elders with younger, let them praise the Lord’s name, for His name alone is exalted.

His thanksgiving is in earth and heaven. And He shall exalt the horn of His people.

A hymn for all His saints, for the children of Israel, a people who draw near to Him.

Sing to the Lord a new song, His praise in the assembly of His holy ones.

Let Israel be glad in Him who made him, and let the children of Zion greatly rejoice in their King.

Let them praise His name with dance; with tambourine and harp let them sing to Him.

For the Lord is pleased with His people, and He shall exalt the gentle with salvation.

The holy ones shall boast in glory, and they shall greatly rejoice on their beds.

The high praise of God shall be in their mouth and a two-edged sword in their hand.

To deal retribution to the nations, reproving among the peoples.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τῆς Ὀκτωήχου - - -

Στιχηρὰ Ἀναστάσιμα.

Στιχηρὸν Α΄. Ἦχος α΄.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ὑμνοῦμέν σου Χριστέ, τὸ σωτήριον πάθος, καὶ δοξάζομέν σου τὴν ἀνάστασιν.

Στιχηρὸν Β΄. Ἦχος α΄.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος παντοδύναμος.

Στιχηρὸν Γ΄. Ἦχος α΄.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ ἀναστάσει σου Χριστέ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Στιχηρὸν Δ΄. Ἦχος α΄.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ· ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί· ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν· ἀνέστης ἐκ τοῦ τάφου,

To shackle their kings with chains and their nobles with fetters of iron.

From Octoechos - - -

Resurrectional Stichera.

Sticheron 1. Mode 1.

To fulfill among them the written judgment: this glory have all His holy ones. [SAAS]

We extol Your saving Passion, O Christ, and we glorify Your resurrection. [GOASD]

Sticheron 2. Mode 1.

Praise God in His saints; praise Him in the firmament of His power. [SAAS]

You endured crucifixion, and You abolished death, and You rose from the dead. We pray You grant us a peaceful life, O Lord, as the only Almighty One. [GOASD]

Sticheron 3. Mode 1.

Praise Him for His mighty acts; praise Him according to the abundance of His greatness. [SAAS]

You plundered Hades, and You raised humanity, by Your resurrection, O Christ. We pray You grant us to extol You and glorify You with a pure heart. [GOASD]

Sticheron 4. Mode 1.

Praise Him with the sound of trumpet; praise Him with the harp and lyre. [SAAS]

We glorify Your divine condescension, and we extol You, O Christ. From the Virgin You were born, and from the Father You remained inseparable. As a man You suffered and voluntarily endured the Cross. As one emerging from a bridal chamber, You rose

ὡς ἐκ παστάδος προελθών, ἵνα σώσῃς τὸν κόσμον· Κύριε δόξα σοι.

Στιχηρὸν Ε΄. Ἦχος α΄.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὅτε προσηλώθης τῷ ξύλῳ τοῦ σταυροῦ, τότε ἐνεκρώθη τὸ κράτος του ἐχθροῦ· ἡ κτίσις ἐσαλεύθη τῷ φόβῳ σου, καὶ ὁ ᾅδης ἐσκυλεύθη τῷ κράτει σου· τοὺς νεκρούς ἐκ τῶν τάφων ἀνέστησας, καὶ τῷ λῃστῇ τὸν Παράδεισον ἤνοιξας· Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Στιχηρὸν Ϛ΄. Ἦχος α΄.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὀδυρόμεναι μετὰ σπουδῆς, τὸ μνῆμά σου κατέλαβον αἱ τίμιαι γυναῖκες· εὑροῦσαι δὲ τὸν τάφον ἀνεῳγμένον, καὶ μαθοῦσαι παρὰ τοῦ Ἀγγέλου, τὸ καινὸν καὶ παράδοξον θαῦμα, ἀπήγγειλαν τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στιχηρὸν Ζ΄. Ἦχος α΄.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Τὴν τῶν παθῶν θείαν μωλώπωσιν, σοῦ προσκυνοῦμεν, Χριστὲ ὁ Θεός, καὶ τὴν ἐν τῇ Σιὼν Δεσποτικὴν ἱερουργίαν, τὴν ἐν τέλει τῶν αἰώνων θεοφανῶς γεγενημένην· τοὺς γὰρ ἐν σκότει καθεύδοντας, ὁ Ἥλιος ἐφώτισας τῆς δικαιοσύνης, πρὸς ἀνέσπερον χειραγωγῶν ἔλλαμψιν· Κύριε δόξα σοι.

from the sepulcher, in order to save the world. Glory to You, O Lord! [GOASD]

Sticheron 5. Mode 1.

Praise Him with timbrel and dance; praise Him with strings and flute. [SAAS]

When You were nailed to the tree of the Cross, then the enemy's power was destroyed. In fear of You, creation was shaken, and by Your power Hades was sacked. You raised the dead from the tombs, and to the robber You opened Paradise. Christ our God, glory to You! [GOASD]

Sticheron 6. Mode 1.

Praise Him with resounding cymbals; praise Him with triumphant cymbals; let everything that breathes praise the Lord. [SAAS]

The loyal women came with haste to Your tomb lamenting, and they found the sepulcher opened. When they learned from the Angel the new and marvelous wonder, they reported to the Apostles, "The Lord has risen, granting to the world the great mercy!" [GOASD]

Sticheron 7. Mode 1.

Arise, O Lord my God, let Your hand be lifted high, and do not forget Your poor to the end. [SAAS]

We honor the sacred stripes that You received at Your Passion, O Christ God, and the divinely revealed imperial sacrifice that took place in Zion at the end of the ages. You, the Sun of Righteousness, enlightened those who were asleep in darkness, and You led them

Στιχηρὸν Η΄. Ἦχος α΄.

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Τὸ φιλοτάραχον γένος τῶν Ἰουδαίων, ἐνωτίσασθε· Ποῦ εἰσιν οἱ Πιλάτῳ προσελθόντες; εἴπωσιν οἱ φυλάσσοντες στρατιῶται· ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ μνήματος; ποῦ μετετέθη ὁ ταφείς; ποῦ ἐπράθη ὁ ἄπρατος; πῶς ἐσυλήθη ὁ θησαυρός; τί συκοφαντεῖτε τὴν ἔγερσιν τοῦ σταυρωθέντος, παράνομοι Ἰουδαῖοι; Ἀνέστη ὁ ἐν νεκροῖς ἐλεύθερος, καὶ παρέχει τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Τῆς Ὀκτωήχου - - -

Δόξα. **Ἦχος δ΄.**
Τὸ Δ΄ Ἑωθινόν.

Ὄρθρος ἦν βαθύς, καὶ αἱ γυναῖκες ἦλθον ἐπὶ τὸ μνῆμά σου Χριστέ· ἀλλὰ τὸ σῶμα οὐχ εὑρέθη, τὸ ποθούμενον αὐταῖς· διὸ ἀπορουμέναις, οἱ ταῖς ἀστραπτούσαις ἐσθήσεσιν ἐπιστάντες. Τί τὸν ζῶντα, μετὰ τῶν νεκρῶν ζητεῖτε; ἔλεγον· ἠγέρθη ὡς προεῖπε· τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ; Οἷς πεισθεῖσαι, τὰ ὁραθέντα ἐκήρυττον· ἀλλ’ ἐδόκει λῆρος τὰ εὐαγγέλια· οὕτως ἦσαν ἔτι νωθεῖς οἱ Μαθηταί· ἀλλ’ ὁ Πέτρος ἔδραμε, καὶ ἰδὼν ἐδόξασέ σου, πρὸς ἑαυτὸν τὰ θαυμάσια.

to never-setting illumination. Glory to You, O Lord. [GOASD]

Sticheron 8. Mode 1.

I will give thanks to You, O Lord, with my whole heart; I will tell of all Your wondrous things. [SAAS]

Listen, O brood of Jewish agitators. Where are those who went to Pilate? Let the soldiers who were guarding speak out. Where are the seals of the sepulcher? Where was the buried corpse moved? Where was the unsellable sold? How was the treasure stolen? Why do you discredit the resurrection of Him who was crucified, O lawless Jewish men? He rose, for He was free among the dead, and He grants to the world the great mercy. [GOASD]

From Octoechos - - -

Glory. **Mode 4.**
Eothinon 4.

It was early dawn, and the women came to Your tomb, O Christ. But Your body, which they longed for, was nowhere to be found. While they were perplexed about this, the men in dazzling apparel stood by them and said to them, “Why do you seek the living among the dead? He has risen, as He told you. Why do you not remember His words?” And they believed them, and proclaimed what they had seen. But the good news seemed to the disciples an idle tale. This is how slow they still were to understand. But Peter ran and saw for himself, and he went home, glorifying Your wonders. [GOASD]

Καὶ νῦν. **Θεοτοκίον.**

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεις ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Both now. **Theotokion.**

You are supremely blessed, O Virgin Theotokos. For through Him who from you became incarnate, Hades has been captured, and Adam has been called back; the curse has been killed, and Eve has been freed; death has been put to death, and we have been brought back to life. Therefore we extol Him and cry out, “O Christ our God, You are blessed, for so was Your good pleasure. Glory to You!” [GOASD]

Ὁ λαὸς ἵσταται διὰ τὴν Μ. Δοξολογίαν.

Stand for the Great Doxology.

Ἡ Μεγάλη Δοξολογία

Great Doxology

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Glory be to You who showed the light. Glory in the highest to God. His peace is on earth, His good pleasure in mankind. [SD]

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

We praise You, we bless You, we worship You, we glorify You, we give thanks to You for Your great glory.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Lord King, heavenly God, Father, Ruler over all; Lord, only-begotten Son, Jesus Christ; and You, O Holy Spirit.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Lord God, Lamb of God, Son of the Father, who take away the sin of the world, have mercy on us, You who take away the sins of the world.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Accept our supplication, You who sit at the right hand of the Father, and have mercy on us.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

For You alone are holy, You alone are Lord, Jesus Christ, to the glory of God the Father. Amen.

Καθ’ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Every day I will bless You, and Your name will I praise to eternity, and to the ages of ages.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Vouchsafe, O Lord, this day, that we be kept without sin.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Blessed are You, O Lord, the God of our fathers, and praised and glorified is Your name to the ages. Amen.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ’ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Let Your mercy be on us, O Lord, as we have set our hope on You.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Lord, You have been our refuge from generation to generation. I said: Lord, have mercy on me. Heal my soul, for I have sinned against You.

Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Lord, I have fled to You. Teach me to do Your will, for You are my God.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

For with You is the fountain of life; in Your light we shall see light.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Continue Your mercy to those who know You.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (3)

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. (3)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Glory to the Father and the Son and the Holy Spirit.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Μετὰ τὸ τέλος τῆς Δοξολογίας λέγομεν Τροπάριον Ἀναστάσιμον.

Ἦχος δ΄. *(ἢ τῆς ἑβδομάδος.)*

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

After the Doxology, sing the following Resurrectional Troparion.

Mode 4. *(or the Mode of the week)*

Today has salvation come to pass in the world. Let us sing to Him who resurrected from the tomb and is the Author of our life. For, destroying death by death, He gave us the victory and the great mercy. [SD]